ρὶ παλαιᾶς καὶ νέας Δακίας, ἱςορίαν τῶν Ε'βραίων, καὶ ἄλλα πολλὰ, τὰ ὁποῖα φανερώνεσι τὸ πολυμαθὲς καὶ ἐξηκριβωμένον τε ἀνδρὸς, ἐν παντὶ εἴδει παιδείας, καὶ μάλιςα ἐν τῇ παραλλήλῳ ἀναθεωρήτει ἱερᾶς τε καὶ ἀορίςε ἀρχαιολογίας. Ι'δε περὶ αὐτε τὸν Μοσχοπολίτην Προκόπιον, τὸ Η'μερολόγ. τῶν πεπαιδευμένων τῆς Ι'ταλίας Τ. ΛΓ'. Μέρ. Α'. σελ. 511. καὶ Γερμαν. βιβλιοθ. Τ. Γ'. σελ. 264.

*Χρύσανθος Νοταρᾶς.*

§. 4. Χρύσανθος Νοταρᾶς Πελοποννήσιος Πατριάρχης Ι'εροσολύμων, ἀνεψιὸς τε πρὸ αὐτε Πατριάρχε Δοσιθέε· εἰδήμων ὁπωσεν τῆς Ε'λληνικῆς καὶ Λατινικῆς γλώττης, τῆς Θεολογίας, καὶ μαθηματικῆς, ἱεροκήρυξ ἔμπειρος τῆς θείας Γραφῆς, καὶ τῶν πατέρων τῆς Ε'κκλησίας· ἀκροατὴς πρῶτον τῶν ἐν Κωνςαντινεπόλει, εἶτα καὶ τῶν ἐν Ι'ταλίᾳ καθηγητῶν, περιηγήσατο πᾶσαν σχεδὸν τὴν Εὐρώπην· συνεγράψατο κοινῇ διαλέκτῳ βιβλίον εἰσαγωγικὸν εἰς Γεωγραφίαν, καὶ περὶ τῶν Ε'κκλησιαςικῶν ὀφικίων τῆς ἀνατολικῆς Ε'κκλησίας. Ι'δε τὸν Προκόπιον καὶ τὸν Λέκβιεν.

*Καλλίνικος Η'ρακλείας.*

§. 5. Καλλίνικος ἐκ νήσε Ναξίας τῶν Κυκλάδων, μητροπολίτης Η'ρακλείας, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθὴς, εἰδήμων τῆς Ε'λληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν ἱερὰν θεολογίαν, ἐσχολάρχασε καὶ ἐν Κωνςαντινεπόλει πρὶν ἀρχιερατεύσῃ, μάλιςα καὶ Πατριάρχης ἐκηρύχθη μετὰ τὸν Ι'ερεμίαν, ἀλλ' ἀποπληξίᾳ ἐτελεύτησε πρὶν λάβῃ τὸ κῦρος. Ι'δε τὸν Προκόπιον καὶ τὸν Λέκβιεν.

*Α'θανάσιος Α'δριανεπόλεως.*

§. 6. Α'θανάσιος ἐξ Α'δριανεπόλεως, μητροπολίτης Α'δριανεπόλεως, καὶ μετὰ ταῦτα Πατριάρχης Κωνςαντινεπόλεως, εἰδήμων τῆς Ε'λληνικῆς γλώττης, καὶ τῆς Ε'κκλησιαςικῆς ἀκολεθίας καὶ τάξεως ἔμπειρος, ἴδε τὸν Προκόπιον τὸν Λέκβιεν, καὶ Α'λέξ. Ε'λλάδιον περὶ καταςάσεως τῆς τῶν Γ[ρ]αικῶν Ε'κκλησίας.

*Γρηγόριος Σωτήρης.*

§. 7. Γρηγόριος Σωτήρης Α'θηναῖος, μητροπολίτης Γάνε καὶ Χώρας, ἀνὴρ εἰδήμων τῆς Ε'λληνικῆς καὶ Λατινικῆς, καὶ Ι'ταλικῆς γλώττης, πεπαιδευμένος τήν τε θύραθεν, καὶ τὴν καθ' ἡμᾶς παιδείαν, ἴδε τὸν Προκόπιον καὶ τὸν Λέκβιεν.

*Νεόφυτος Νοταρᾶς.*

§. 8. Νεόφυτος Νοταρᾶς Πελοποννήσιος, τε Α'γίε Τάφε, καὶ ἀδελφὸς τε Μακαριωτάτε Πατριάρχε Ι'εροσολύμων Κυρίε Χρυσάνθε, ἀνὴρ κατὰ τὸν Προκόπιον εὐσεβείᾳ καὶ τρόπε χρηςότητι φαιδρυνόμενος, ἐλλόγιμος, καὶ πολυμαθὴς, φιλόσοφος, θεολόγος, καὶ μαθηματικὸς, ἔμπειρος τῆς θείας Γραφῆς. Προκόπ.

*Δημήτριος Ι'ελιανός.*

§. 9. Δημήτριος Ι'ελιανὸς Βυζάντιος ἐξ εὐγενῶν προγόνων καταγόμενος, μέγας Λογοθέτης τῆς ἐν Κωνςαντινεπόλει Α'γίας Ε'κκλησίας, ἀνὴρ ἐλλόγιμος, καὶ πολυμαθὴς, εἰδήμων τῆς Ε'λληνικῆς καὶ Λατινικῆς διαλέκτε. Προκόπ.

*Σπαντωνῆς Βυζάντιος.*

§. 10. Σπαντωνῆς Βυζάντιος μέγας Χαρτοφύλαξ τῆς ἐν Κωνςαντινεπόλει Α'γίας Ε'κκλησίας, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς Ε'λληνικῆς γλώττης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεο-